UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Florentio. 486.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Ἰσιδώρῳ. υπε.

Καρχηδονίους νόμος κωλύει διέπειν ἀρχήν, ἧττονας κακούς. Καππαδόκας δὲ τοὺς μεγάλους πονηρούς, οὐκ εἴργει νόμος ἀρχῆς. ἐπειδὴ τοίνυν καὶ βούλει πάντας εὐεργετεῖν, καὶ σύνδρομον ἔχεις τῇ βουλήσει τὴν δύναμιν, ἢ τὸν νόμον ἀντάλλαξον, μᾶλλον Καππαδόκας Καρχηδονίων κωλύων, ἢ σύναψον καὶ τούτους ἐκείνοις. εἰ δέ, ὡς εἰκός, χρήμασι τὰς ἀρχὰς ἐξωνοῦνται, ἃς καὶ βάρβαρός τις ὠνούμενος, οὐ κωλύεται μόνον εἰ τὰ χρήματα διδῷ, ἀλλὰ κἂν οὕτως ἀρχέτωσαν μόνων τῶν Καππαδοκῶν, ἀξίων ὄντων ταῖς οἰκείαις δεδέσθαι κατήναις.

*Iſidoro.* 485.

Carthaginienſes, homines minùs malos, Lex magiſtratum gerere prohibet. Cappadoces autem, quorum ingens eſt improbitas, nulla Lex ab imperio ac præfectura remouet. Quoniam igitur & de omnibus bene mereri cupis, & parem cupiditati potentiam habes, aut legem immuta, Cappadoces potiùs, quàm Carthaginienſes à gerendo imperio arcens, aut cum his illos quoque copula. Quòd ſi, vt vero conſentaneum eſt, pecuniis imperia emercantur (quæ barbarus etiam quiſpiam emens, nō modò prohibetur, ſed etiam grauiſſimo ſupplicio mulctatur, ſi pecunias dederit) at ſic quoque Cappadocibus duntaxat imperent, qui hoc merentur, vt ſuis vinciātur catenis.

Φλωρεντίῳ. υπϛ.

Ἔχεις αὐτόθι Γιγάντιον, δέσποτα, οἰόμενον λεληθέναι τὰ πρότερα, καὶ αὖθις περιθήσεσθαι ἑαυτῷ τὴν ἀρχὴν βουλευόμενον. ἐπειδὴ τοίνυν πολλῶν τὰ ἐνταῦθα δεινῶν ἐν πείρᾳ κατέστησεν, ἐφ' οἷς τῆς ὑμετέρας δεῖται εἰς διόρθωσιν καθαρότητος, μακρῶν δὲ λόγων εἰς γνῶσιν τῶν κατ' αὐτὸν οὐ χρῄζετε, ὡς πολλαῖς φροντίσι κυκλούμενοι. Καππαδόκης ἐστίν, ἦρξεν ὡς Καππαδόκης. Καππαδόκου παρ' ὑμῖν μηδὲν πλέον ἐχέτω.

*Florentio.* 486.

Gigantium iſtic habes, Domine, qui ea, quæ priùs egit, incognita atque obſcura eſſe putat, rurſúmque imperium ac præfecturam adipiſci meditatur. Quoniam igitur plurimis incommodis atque calamitatibus nos hîc affecit, (quo nomine in eum à veſtra integritate animaduerti oportet) prolixa autem oratione ad ipſius facinora cognoſcenda minimè indigetis, vtpote multis curis vndique obſeſſi, hoc habete: Cappadox eſt: vt Cappadox imperium geſſit. Quare Cappadoce amplius à vobis haud quicquam obtineat.

Ἀρχοντίῳ. υπζ.

Ὁ δυσσεβὴς Γιγάντιος ὁ εὐπρόσωπον συκοφαντίαν ἐνθεὶς κατὰ τῶν ἀθλίων γεωργῶν, τελῶν καὶ φόρων τινῶν κλοπήν, καὶ τὴν Αὐγούστου βαρύνας ἀπογραφήν, καίτοι βαρυτάτην αὐτοῖς ὑπάρχουσαν. πάλαι πείσας προσχεῖν αὐτῷ ὡς ἀληθεύοντι τὸν κρατοῦντα, καὶ συμφορῶν αἴτιος γεγονὼς τοῖς κωμήταις, εἰς Θρᾴκην ἥκει αὖθις, τὴν ἀρχὴν περιθέσθαι ζητῶν. οἶσθα δὲ ὅσους εἰς φυγὴν ἐσκέδασεν ἀπογράφων, ὅσοι τῆς πατρῴας ἐλευθερίας, τὸ σκαπάνην

προσθεὶς.

προσέχειν.

*Archontio.* 487.

Impius Gigantius, qui aduerſus miſeros agricolas calumniam ſtruxit, tanquam videlicet vectigalia quædā ac tributa ſurripuiſſent, quíque Auguſti cenſum ac deſcriptionem auxit, etſi alioqui ipſis grauiſſimam & acerbiſſimam, poſteaquàm iampridem imperatorem adduxit, vt ſibi, tanquam vera loquenti, animum adiiceret, iiſque qui in vicis & pagis habitant, calamitatum cauſam præbuit, in Thraciam ſe confert, ea mente ac ſtudio, vt imperium rurſus conſequatur. Non es autem